Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0001-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0002-3

XIII.
Gl 2713

# ΠΟΙΗΜΑ ΝΟΥΘΕΤΙΚΟΝ,

ἀπὸ τοῦ τρυγητοῦ.

Ὅτι τῷ οἴνῳ μετρίως μὲν χρᾶσθαι, μέγα λυσιτελεῖ· πέρα δὲ τοῦ καλῶς ἔχοντος ἐμφορεῖσθαι, κομιδῇ βλάπτει. ἑλληνιστὶ καὶ λατινιστί.

## CARMEN MONITORIUM, POST VINDEMIAM.

*De vini moderatè poti vtilitatibus & commodis: & aliter sumti incommodis atq; damnis. Græcè & Latinè.*

VVITEBERGAE
In Officina Hæredum Cratonis, 1588.

11 A8
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0003-8

# ΙΩΑΝΝΗΣ Ο ΛΑΔΙΣΛΑΟΣ.

Τῆς μεγάλης ἐλπίδος νεανίσκῳ Ἰωάννῃ τῷ Δαβίδι, τῷ τοῦ Δαβίδος, ἀνδρὸς ἐντίμου μάλα, καὶ δοκίμου, τοῦ τε ἐν τοῖς κίμβροις ἐλλιμενίων βασιλικῶν ἐπιστατοῦντος, μαθητῇ αὐτοῦ, χαίρειν.

Χρὴ μὲν σκέψασθαι δισσὸν τέλος ἀμφὶ λόγοισι,
Χρήσιμά τε γνῶναι, καὶ τὰ λέγειν σαφέως.
Τὸ φρένα μὲν κοσμεῖ, τὸ δέ γε στόμα, πρὸς δὲ μάλ' ἀμφοῖν,
Λυσιτελεῖ γλωσσῶν ἰδμοσύνη λογίων.
Πῶς γὰρ ἂν ἀρχαίοισι σοφοῖς χρᾶται συνομιλῶν,
Εὖτ' ἂν τῆς γλώσσης τῶνδε γένητ' ἀδαής,
Οὐκ ἄν τι μᾶλλον συνιῇ διάνοιαν ἐκείνων,
Ἤ κίμβρος τις ἀνὴρ τὴν σκυθικὴν λαλιάν.
Ταῦτ' ἄρα γινώσκων, οὔ μοί τι ποτ' ἄλλο τέτυκται
Τῆς μελέτης ταύτης πρόσθε, καὶ ἐννεσίης,
Πῶς κε σὺ, καὶ λοιποὶ τοῦ γυμνασίοιο μαθηταὶ
Ἀμφοτέρης γλώσσης γνῶσιν ἔχητε λαβεῖν,
Ἄμμιγα καὶ σοφίην, γλωσσῶν ἣ φᾶρος ἔεσται,
Οἷα πυρὴν καρύου κρύπτεται ἐν κελύφει.
Τοὔνεκα νῦν ἤεισα βλάβας καὶ ὀνήσιας οἴνου,
Καὶ διὰ ῥωμαϊκῶν, ἑλλαδικῶν τ' ἐπέων.
Δεικνύσων ὑμῖν παράδειγμα φρονεῖν τ' ἐνέπειν τε,
Ἄλλως καὶ πεζῷ τοῦτ' ἐπέδειξα λόγῳ.
Ταῦτα δ' Ἰωάννη σοὶ φίλτατε δῶρον ὀπάζω,
Ὄφρ' ᾖ εὐνοίας σύμβολον ἡμετέρης.

# IOHANNES LADISLAVS

## OPTIMÆ SPEI ADOLESCENTI IO-
## hanni Dauidi, Dauidis, Viri Ornatissimi probatissimique, & in Chersoneso Cimbrica portorijs regijs exigendis præfecti F. discipulo suo, S.

*DVplex Pieria finis spectandus in arte est,*
*Cognitio rerum, perspicueq; loqui:*
*Expolit illa animum, decus hoc est oris, utrumq;*
*Notities multum linguæ utriusq; iuvat.*
*Nam quî Priscorum pernoscat scripta Sophorum,*
*Qui linguæ veterum cognitione caret?*
*Non magis illorum perceperit intima sensa,*
*Quàm Cimber gentis verba Borysthenidis.*
*Hæc ego cognoscens, nil intra pectora quicquam*
*Volvo magis, potior nec mihi cura subit:*
*Quàm quo tu pacto, & reliqui ludi huius alumni*
*Poßitis linguas addidicisse duas,*
*Et Sophiam, quæ linguarum est velamine tecta,*
*Cortice ceu tegitur nucleus ipse nucis.*
*Hoc adeò fini, quæ commoda, quæ mala vini,*
*Romuleo cecini Cecropioq; pede.*
*Et sapere exemplum præiens, & congrua fari,*
*Hæc aliàs vobis prosa loquela dedit.*
*Hoc tibi Iohannes carißime dedico carmen,*
*In te signa animi non aliena mei.*

Ἀλλὰ σὺ, ὥσπερ ἔχεις, Ζηνὸς θεράπευε θύγατρας,
Τρίβου δ᾽ ἀμφ᾽ ἀρετῇ, ἀμφὶ καὶ εὐσεβίῃ.
Οὕτω σὺν πατέρ᾽ εὐφρανέεις, καὶ πατρίδι, καὶ σοὶ
Κῦδος, καὶ πολλοῖς καρτερὸν ἄλκαρ ἔσῃ.

Ἐν τῷ γυμνασίῳ ἀρχικῷ ἐν Μείσνῃ πόλει,
τῇ πρὸ τῶν καλανδῶν Νο-
βεμβρίου, ἔτει τῆς ἐπο-
χῆς Χριστιανικῆς
α φ π η.

*At tibi, quod facis, Aoniæ ſint cura ſorores,*
*Sit ſtudium virtus cum pietate tuum.*
*Gaudia ſic patri, laudem patriæq́;, tibiq́;*
*Addes, & magnum civibus auxilium.*

In ludo illuſtri, qui eſt in vrbe Miſna, Prid. Kal. Novembris, Anno Epochæ Christianæ.

CIↃ IↃ LXXXVIII.

# ΑΠΟ ΤΟΥ ΤΡΥΓΗΤΟΥ,

## ὍΤΙ ΤΩ ὈΙΝΩ ΜΕΤΡΊΩΣ ΜῈΝ ΧΡΑσθαι, μέγα λυσιτελεῖ· πέρα δὲ τοῦ καλῶς ἔχοντος ἐμφορεῖσθαι, κομιδῆ βλάπτει.

Ὄρνιθος φωνὴ γεράνων ἐκ μακρὰ βοώσης
Ἄγγελος ἠκούσθη χείματος ἐρχομένου,
Πάντα παρακμάζει λειμωνόθι, φύλλα δ' ἀπ' ὕλην
Δένδρων ὑψικόμων ἐξεκέχυντο χαμαί.
Ἤδη ξυγκόμισαν δημήτερος ὄμπνιον ἀκτὴν
Γηπόνοι, ὡραίου μνησάμενοι βιότου.
Ἤδη καὶ βότρυς ἀπέθρεψαν ἐν οἰνοπέδοισι,
Γλεῦκος δ' ἀγγείοις ἔρσαν ἀφυσσάμενοι.
Ἐν δὲ καὶ οἰνῶσιν θέσαν εὔφρονα καρπὸν ἀρούρης,
Δῶρα θεοῦ μεγάλου χάρμα φέροντα βροτοῖς,
Νῦν μὲν λωφῶσιν χορταζόμενοι βόες ἔνδον,
Σὺν δ' ἐπάρουρος ἀνὴρ νῦν ἀνάπαυσιν ἔχει.
Νῦν ἄγροικ' ἠμὲν πολυβοῦται, ἠδὲ ἀβοῦται,
Ἐν τῷ ἡδυπαθεῖν ἴσον ἔχουσι πόνον,
Εἴς τε μέσον κράζειν, καὶ καρτερὸν ἐγκοποτάζειν,
Αὐλῶν χαίροντες καὶ δονάκων ἐνοπῇ,
Κώμοις τ' ὀρχηθμοῖς θ'. ἡ γὰρ δίκη ἐστὶ γεωργῶν,
Εὖτε χλιαίθησαν ζωροτέροιο ποτοῦ.
Τίς φθόνος οὖν χ' ἡμᾶς τῶν Πιερίδων θεράποντας
Ἔργου φειδομένους, ὡς δέον, ἁβρὰ παθεῖν;
Τῆς τ' ἀπόνασθ' ὥρης, καὶ ἀποσκεδάσαι μελεδῶνας,
Ἐν θαλίῃ ἐρατῇ θυμὸν ἰαινομένους.
Ὡς εὐθυμότεροι μετέπειτ' ἐπιχειρέμεν ἔργα,
Πολλὰ δὲ τῶν ἔργων εὐφροσύνη προφέρει.

POST

# POST VINDEMIAM, DE VINI MODERATE POTI vtilitatibus & commodis: & aliter sumti incommodis atq; damnis.

*VOx audita gruis clangens de nubibus altis*
*Nunciat hybernos approperare dies,*
*Mollia nunc paßim moriuntur gramina campis,*
*Et solitæ arboribus deperiêre comæ,*
*Iam convexerunt cerealia dona Coloni,*
*Quos memores victus aspera fecit hyems.*
*Iamq; racemiferis legêre in collibus uvas,*
*Et nova sunt vasis condita musta suis.*
*Iamq; adeò vinum cellis posuêre sub imis,*
*Dona Dei, nobis quæ mala fata levant.*
*Nunc intus pascunt tauros, nunc rustica pubes*
*Ocia post operas liberiora colit.*
*Nunc dives pecoris, pecus & cui desit, utriq;*
*Indulgent genio, nunc is vtrisq; labor,*
*Et pariter clamare, & trullas evacuare,*
*Plaudere rurales ad calami modulos,*
*Et Baccho, Nymphisq;, ea consuetudo colonis,*
*Pectora sunt largo cum calefacta mero.*
*Quid vetat Aonidum, qua par est, ergo ministros,*
*Sumere post operas lætum aliquando diem?*
*Atq; hora præsente frui, curasq; fugare,*
*Et dare iucundo pectora symposio?*
*Promtior ut solitum munus post illa capessas,*
*Mens hilaris, citius, quod facit, omne facit.*

πίνωμεν

Πίνωμεν πίνωμεν, ἀλλήλοις δ' ἐσθλὰ λέγωμεν,
    Παύοντες βρομίῳ φροντίδας ἀργαλέας.
Μηδὲ βορῆς ἄχθει βεβαρημένοι, εὐφροσυνάων
    Λησώμεσθ' ἐρατῆς δευόμενοι θαλίης.
Εὔφρονι γὰρ θυμῷ πίνειν γέρας ἐστὶ θαλείης,
    Γαστέρα δ' ἐμπλῆσαι γυψὶ τόδ' ἐστ' ἐν ἔθει.
Σὺν δ' ὀργὴν μίσγωμεν ὁμῶς ἀγαθοῖς τε κακοῖς τε,
    Οὐλομένας ἔριδας δὴν ἀπερυκόμενοι.
Στέργωμεν δὲ μάλιστα χαρᾷ συνοπηδὸν ἐραννῇ
    Ἀρθμὸν ὁμοφροσύνης, δαιτὸς ἐν ἡσυχίῃ.
Μηδὲ ταράσσωμεν θαλίην ἀεσίφρονι θυμῷ,
    Τοῖς συσσίτοισιν νεῖκος ἀειράμενοι.
Οἷον κένταυροι παρὰ κρητῆρσιν μαχέσαντο,
    Ὕβριν ἄξαντες καὶ χαλεπῇ μεθύσῃ.
Μήτε πρὸς ἀλλήλους διαπληκτιζώμεθα γλώσσῃ,
    Ὥστε γυναῖκα γυνὴ νεικέει ἐν τριόδοις.
Μήτι τέω προπετεῖς πελέθωμεν μῶμον ἀνάψαι,
    Ἀλλὰ παρόντα φιλεῖν, εὖ δ' ἀπεόντα λέγειν.
Μήτε δολοφρονέων τὶς ἀπὸ γλώσσης ἑτάροιο
    Μῦθον θηρεύῃ, σχέτλιος, εἰς τὸ κακόν.
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιος ὅστις ὁ τοῖος,
    Τοῦδε δ' ἀπιστότερον μὴ κακὸν εὗρε φύσις.
Ἀλλ' ἁπλοῖσι λόγοις ἐπιτερπώμεσθα, καὶ ᾠδαῖς,
    Φθόγγοις θ' ἡδυθρόοις χορδοτόνοιο λύρης.
Τὸν δὲ θεὸν πρώτιστ' ᾄδωμεν δώτορ' ἐάων,
    Σύν θ' ἑνὶ φωνεῦντες καὶ σὺν ἅπασιν ὁμῶς.
Οὔτις γὰρ δὴ τέρψις ἐπὶ φρένας ἄμμιν ἵκοιτο
    Νόσφ' ἀρετῆς, ἁγίου τοῦτο φόβοιο θεοῦ.
Κεῖνος γὰρ βόσκει θηρῶν γένος ὑληκοιτῶν,
    Ἔθνεά τ' ὀρνίθων, φῦλά τε νηχομένων.
Κεῖνος δ' οὐρανόθεν δεύει χθόνα πουλυβότειραν,
    Ὥστε φύειν σῖτον βρῶσιν ἐς ἀνδρομέην.

Ergo

Ergo dicentes alijs bona verba bibamus,
Vt cedat posito cura molesta mero.
Nec dapibus gumiæ ventrem oblimemus ineretm.
Læticiæ immemores, qua sine vina iacent,
Poclorum decus est iucundam expromere mentem,
Sed farcire avidi est vulturis, ingluviem,
Sint mores mitesq; bonis, mitesq; malignis,
Iurgia pellantur perniciosa procul.
Læticiæ comes in primis concordia præsit,
Cui grata est epulas inter amica quies.
Nec perturbemus stolida convivia mente,
Quæ mensæ socijs bella movere parat.
Vt Centauri, epulas sæui inter in arma ruêre,
Ebrius ut vicit pectora læua furor.
Non alternanti certemus verbere lingua,
Ceu mulier medijs cum muliere vijs.
Nec facilè illudas quenquam, sed amanter habeto,
Quisquis adest, dicas nec malé quisquis abest.
Nec quis sermones nebulo venetur amici,
Quo socium invisum præcipitare queat.
Barbarus hic verè est, Larium violator & æqui,
Sub cælo pestis non aliena magis.
Simplice lætemur potius sermone, nec absint
Dulcisoni cantus, dulcisonæq; lyræ.
Sed rerum auctorem primum vox læta celebret,
Vnanimi dulces demus & ore sonos.
Nulla animum, quæcunq; caret virtute, voluptas,
Oblectet, vacua est quæq; timore DEI.
Ille etenim pascit vastis animalia syluis,
Et genus alituum, squamigerumq; gregem.
Ille solum ex alto pluvialibus irrigat undis,
Vt sua mortales hinc alimenta ferant.

B          πῶς

Πρὸς δ' ἔτι βριθούσης σταφυλῆς τὸν καρπὸν ἀλωῆς,
Οἶνον λυσίκακον, νεκτάρεόν τε πόμα.
Αὐτὰρ χρὴ τοίνυν τῷ ἀμπελοφύτορι μούνῳ
Μνῆμ' ἐχέμεν πόσιος καὶ χάριν ὠφελίμης.
Οἶνος πινόμενος μετρίως, χαριέστατός ἐστι,
Γυῖατ' ἀναψύχων ἀνδράσι, καὶ κραδίην.
Εὐφραίνει γὰρ νόον, παρέχει δ' ἄμπαυμα μεριμνῶν,
Φύει δ' οὐλομένης λησμοσύνην πενίης.
Εἰ πίομαι, λύπης θυμοφθόρου οὐκ ἀλεγίζω,
Οὐδ' ἀνδρῶν σκαιῶν, οἵ με λέγουσι κακῶς.
Οἷς τε φίλον θυμῷ βλασφημεῖν ἄνδρας ἀμείνους,
Κρακταὶ, δεσπόζειν οἵγ' ἐθέλουσ' ἑτέρων,
Καὶ ψυχῶν αὐτῶν, αὐτοὶ δ' ἄνομοι καὶ ἄναρχοι,
Ὡς ὁ Παπᾶς ἀδεῶς πλημμελέουσι μόνοι.
Οὔτε μέλει βλακικὴ κακόθρου, καὶ ἀτερπέος ὄσσα
Κόκκυγος οὔτ' ᾠδὴ δειμαλέη βυέων.
Κόκκυγος οὐ γενεᾶς, ἢ ἀγνώμονι τοῦ πατρὸς ἤθει,
Ἐκτίνει σφετέρῳ θρέπτρα κακὰ τροφέϊ.
Πολλάκις εὐφράνθη πίνων μελιηδέος οἴνου,
Ἐν μεγάλαις ἄταις κείμενος, ἔν τε πόνοις.
Πολλάκι δὴ κάμνοντι μένος, νοσέοντι γὰρ θάλπος,
Καί τ' ἄκος ὤπασαν ἀμπέλινοι σταγόνες,
Πολλάκι δεινὰ στρόφοισι κυκωμένου ἀργαλέοισι
Γαστέρος, ἰητὴρ οἶνος ἔπαυσ' ὀδύνας.
Καὶ δὴ λυσιτελὲς μέλας ἔπλετο φάρμακον οἶνος
Κωλῦσαι φθορίας τραύμασι σηπεδόνας.
Δοιὼ εἰσὶ χυλοὶ, ῥωμαίων εἶπε σοφῶν τις,
Ὡς ὅτι τερπνότατοι σώμασι τῶν μερόπων,
Οἶνος καὶ τοὔλαιον. ἐπήρατα δῶρα βροτοῖσι,
Πρὸς ῥώμην δίδυμον σωζομένην ὄφελος.
Ὧν τὸ μὲν ἔκτοσθεν χρισθὲν δέμας ἀνδρὸς ὀφέλλει,
Ἐντὸς ὁ γὰρ βρότειον κῆρ ὀνίνησι ποθείς.

Insuper

Insuper & lepidum, quem profert vinea, fructum
Curarum antidotum nobile, dulce merum,
Ipsi ergo, vites hominum qui primus in usum
Produxit, grates voce referre decet.
Vinum cum bibitur moderate suavius haustu est,
Et corpus reficit, lassaq; corda iuvat.
Gaudia fert animo, curarum & dulce levamen
Præbet, egestatis nec meminisse sinit.
Cum bibo, pestem animi tristes nil curo dolores,
Nil homines, de me qui maledicta crepant,
Et quibus est lacerare bonos, in pectore gratum,
Vociferatores, imperiosa cohors,
Inq; animas dominans: ipsi sine lege iugoq;
Soli impunè patrant crimina, more Papæ.
Non aßis facio Cuculi illætabile Carmen,
Bubonumq; nihil omina dira moror.
Nil seclum Cuculi, patrio quod more peteßit
Carum eductoris, gens male grata, caput.
Sæpe aliquis gaudet, cum vini pocula sumit,
Quem labor, & variјs sors premit arcta malis,
Sæpe laboranti vires, ægroq; medelam
Attulit uvarum nobilis ille liquor.
Sæpe dolore gravi cum torquent ilia flatus,
Vinum ceu medica lenijt arte malum.
Vina salutifero præbent medicamina succo,
Ne putris infestet vulnera facta caro.
Sunt duo, ait sapiens Latia de gente liquores,
Illi corporibus commoda grata ferunt,
Vinum oleumq;: homini peramabile munus utrumq;,
Servandis geminum viribus auxilium.
Mitigat hoc unctos externi corporis artus,
Internis illud partibus addit opem.

Τοῖς δέ που ἀμφοτέροις ἐχρήσατ' ἐῢς Σαμαρείτης,
Ὅττε τὸν οὐτάμενον δῆσεν ἐπισταμένως.
Καὶ τὸ μὲν ἔστ' οἶνος μέγα σύμφορος, ἤν δέ κ' ἄρηαι
Ἀφραδέως πίνων τοῦτον ὑπὲρ τὸ μέτρον,
Οἷον ζωροποτεῦσ' οἱ Θρᾷκες χανδὸν ἄμυστιν,
Ἢ βοῦς ὑλοφάγος παρὰ ποταμοῖο ῥοαῖς:
Τόφρ' οἶνος μάλακεν τρώσας πεπωκότα, πολλῷ
Μεῖζον ἐνεγκάμενος πῆμ' ὄφελος προτέρου.
Τῆμος γὰρ πυρὶ ἶσον ἔχει μένος, ὥστε καὶ ἄνδρα
Κυμαίνει, νότου ἶς οἷα λίβυσσαν ἅλα.
Ἐκ δὲ μυχῶν κραδίης κεκρυμμένα πάντ' ἀναφαίνει,
Καὶ τὸ νόημ' αὐτῶν ἐξετίναξε φρενῶν.
Τῆμος καὶ παράγει εἰς ἀμπλακίην νόον ἀνδρῶν,
Ὥστέ τι οὔθ' ἔρδειν αἴσιμον, οὔτε λέγειν.
Τῆμος σωφροσύνης τε καὶ αἰδοῦς οὐδεμί' ὤρη,
Οὕνεχ' ὑπερβασίη τοῖς μεθύουσι φίλει.
Πολλοὶ μὲν νήφοντες ὀνήσιμοι, ἀλλὰ πιόντων
Οὐδὲν ἄρ' ἔστ' ὄφελος, καὶ χάρις οὐδεμία.
Πολλοί γ' οἰνωθέντες ἔπη προὔνεγκαν ἄκαιρα,
Χείλεσι δ' ἁρμοδίας οὐκ ἐπέθεντο θύρας.
Τοὔνεκ' ἐπισπάστοις ἐπὶ πήμασιν ἄλγεα πάσχον,
Τίνοντες γλώσσης, ἐσθ' ὅτε κρατὶ, δίκας.
Πολλοὶ δ' ἀλλοτρίων ἀλόχων ἐπὶ δέμνια βαίνειν
Τολμῶσ' οὐ γὰρ ἀνὴρ αἰδέεται μέθυσος.
Πολλοὶ χρήματ' ὄλεσσαν ἀμέτρως οἰνοποτεῦντες,
Καρφαλέῃ ὀπίσω τειρόμενοι πενίῃ.
Ἄλλος βλασφημεῖ, ἄλλος δ' αὖ νεῖκος ἐγείρει,
Ὡς κατὰ τὴν ὀργὴν οἶνος ἕκαστον ἐλᾷ.
Παίει δ' ὃς μὲν ἔτην, ὃς δὲ κταίνει οἰνοβαρείων.
Οὐδὲ κασιγνήτου φείδεται ἡ μέθυσις.
Ὡς ὅτε Εὐρυτίων τοῖς κενταύροισιν ἀνάσσων
Ἤλυθεν ἐς Λαπίθας εἰλαπιναζόμενος,

*His usu quondam bonus est Samarita duobus,*
*Dum ligat afflicti vulnera cruda viri.*
*Hactenus eximium est vinum. Si sumseris autem*
*Non observato fortia vina modo,*
*Invergunt in se ceu pocla capacia Thraces,*
*Attrahit aut fluvias gutture taurus aquas:*
*Tum vero insanum Bacchi te laserit haustus,*
*Plusq; priore mali commoditate dabit.*
*Tunc habet aequalem flammae vim, quod fera turbat*
*Corda virûm, Lybiae ceu freta vasta Notus.*
*Quaeq; latent imo cordis contecta recessu*
*Detegit, & sensus excutit impavidos.*
*Tunc rapit in tetrum mortalia pectora crimen,*
*Impia quo patrent, verbaq; dira vomant,*
*Sobrietas tunc casta procul, tunc nemo veretur,*
*Transgressus vetitos ebrius omnis amat.*
*Siccus homo prodest persaepe, at crapula nunquam,*
*Sed procul utilitas, & lepor omnis abest.*
*Est qui per vinum verba importuna profatur,*
*Nec labris obdit congrua claustra suis.*
*Propterea attractis tulit infortunia damnis,*
*Et iugulo interdum, quae dedit ore, luit.*
*Illicitum multi vino petiere cubile,*
*Ebria nam prorsus corda pudore carent.*
*Fortunas alij multo amisêre Lyaeo,*
*Et paupertatis post subiêre iugum.*
*Hic execratur, rixas movet ille protervas,*
*Hausta prout quemvis vina potenter agunt.*
*Verberat hic socium, ferro necat ebrius alter,*
*Nec fratri ebrietas parcere tetra potest.*
*Vt quando ad Lapithaea olim convivia venit*
*Rex Centaurorum, tetricus Eurytion,*

Ἔνθ' ὅγε πολλὰ πιὼν, ἐπεὶ φρένας ἄασεν οἶνος.
Αἴσχεα πειριθόου καδδόμον ἔρξε μανείς.
Ἐξ οὗ κενταύροις λαπίθησί τε δῆρις ἐτύχθη
Τῷ τ' ἀρχῷ, καὶ ἄλλοις δαιτυμόνεσσ' ὀλοή.
Ἀλλὰ καὶ ἐκνήψας κακότητα τὰ πολλὰ φυλάσσει
Οἰνόφλυξ, μεθύων ἣν πάρος εἶχε μόνον.
Γλῶσσ' οἷον ψελλὴ, ὀξεῖα καὶ ἄγριος ὀργή,
Στῆθος τῶν ἐσθλῶν νόσφιν ἄτερτε φρενῶν.
Οὐδ' αὐτοῖς μεθύουσι τοῖαι κακότητες ἕπονται
Μοῦνον, ἀτὰρ τοίων οἵτ' ἐφύοντο γενῆς.
Κῦρος ἔην μάργος, τὸ δ' ἀθρήσας ὁ Σινωπεύς,
Ἆρά σε νήπι' ἔφη, ὥπερ πατὴρ μεθύων.
Τίς δ' ἂν ἀριθμήσειεν ἐκείνους, οἱ μεθύοντες
Ἀπρέπτως κύρσαν πήμασιν αἰφνιδίοις.
Κάτθανεν ἐλπήνωρ πρηνιχθεὶς, ὤλετο δ' ἄλλος
Ὕδασιν, ἀλλοίου δ' ἄλλος ἔτετμε μόρου.
Φασὶ παροιμιακῶς, δὶς παῖδες οἱ εἰσὶ γέροντες,
Οἱ δὲ μεθυσκόμενοι τοῖοι ἔτ' εἰσὶ πλέον.
Ὃς γὰρ ὑπερβάλλει πόσιος μέτρον, ἡ μὲν ἀνάγκη
Πολλάκι πλημμελέειν νηπιότητι φρενῶν.
Ὧδε κυβερνήτης ἀνὰ νηῦν ἔτρεψε μεθυσθεὶς,
Καὶ στρατὸν ἡγήτωρ, ἡνίοχος δὲ δίφρον.
Οὔτι γὰρ ἄλλο μέθης ἀφραδέστερον. οὕνεκα πολλὴ
Ἐργασίη ψυχαῖς τῶν νοεραῖσι φθορά.
Καὶ τὰ μὲν ἆθλα μέθης κακὰ γίνεται. ἐστὶ δὲ τῷδε
Φῦλα πλέω, προτέρων οὐκ ἄρα κουφότερα.
Δὴ γὰρ ὑπερβολάδην πίνων ἑοῖ αὐτῷ ἐπισπᾷ
Νούσους τε συχνὰς, καὶ ταχύπουν θάνατον.
Ἐξ οἴνου γάρ τοι πολλοῦ ὠχραί τε παρειαὶ,
Καὶ χαλαραὶ, λῆμαι, καὶ πύα τῶν φαέων.
Καὶ τρομεραὶ χεῖρες, πρότι δ' ἄλγεα μεστὰ χέουσι,
Καὶ πρὸς ἀναγκαίας ἠπεδανοὶ ἐργασίας.

Largitus

Larsitus hic potans, cum mens foret obruta vino,
Pirithoi peragit multa nefanda domo.
Centauris ex quo & Lapithis fera pugna coorta est,
Pugna epuli sociis, & lacrymosa duci.
Quin vitia ebriolus ieiuno in corpore servat,
Quis potus tantum præditus ante fuit,
Lingua velut titubans præceps furiataq; bilis,
Et pectus vecors, & sine mente caput.
Nec vinolentos urgent ea crimina tantum,
Verum etiam tali semine fortè satos.
Diogenes iuvenem vt vidit rationis egentem,
Sevit, ait, madidus, te fatuelle, pater.
Quis verò illorum percurrere nomina poßit,
Per vinum subitis qui periêre modis?
Occidit Elpenor lethatus præcipe lapsu,
Hic in aquis, alio perbitat ille modo.
Bis pueros perhibent, quibus est longæva senecta,
At magis est, vino qui madet usq;, puer.
Nam qui potando gaudet transmittere fines,
Sulticia mentis sæpe necesse ruat.
Sic navem evertit vinosus sæpe magister,
Dux aciem, currus & moderator equûm.
Ebrietate nihil dementius; interit omnis
Immodica ingeniis humiditate vigor.
Hæc funesta meri sunt præmia; plura sed horum
Sunt genera, & primis non leviora malis.
Nam plena qui fauce bibit, sibi scilicet ipse
Arceßit morbos acceleratq; necem.
E vinis pallentq; genæ pendentq; solutæ,
Vina oculis lemas, fædaq; pura genunt.
Inde manus trepidæ, quæ vasa repleta profundunt,
Quæq; parum vel nil ad data pensa valent.

Χρέμψις

Χρέμψις, βὴξ, ἐρυγὴ, βράγχός τε, κόρυζά τε, ἠδ' λύγξ,
Τῶν τ' ὤτων ἦχος, καὶ βαρυηκοΐα,
Χασμῶδές τε ἄση, κ' ἐπὶ τοῖς δυσπνοια, κυνάγχη,
Ψώρα, πλευρῖτις, πιγαλίων, πυρετοί,
Καρδιακή τ' ἄλγος τε κάρης, ἐπιλησμοσύνη τε,
Καὶ στόμα τὴν ὀδμὴν πνεῖ ὅ, τι λημνιάδων.
Ὕδρωψ, ἴλιγγές τ' ἐπιληψίη, ἀρθρῖτίς τε,
Καὶ τὰ κόλοιο πάθη, καί τὰ δυσεντερικά.
Καὶ φθίσιες, σπασμοί τε, καχεξίη, ἀτονίη τε,
Τῆς τ' ἀποπληξίης, τῆς μανίης τε νόσος.
Ἐν δ' ὕπνοισι φόβοι, ταραχαί τε, νοσήματα δ' ἄλλα,
Ὕστατον ὀξυτέρη ἀτραπὸς εἰς ἀΐδου.
Μάρτυς Ἀλέξανδρος βασιλεὺς μέγα φέρτατος ἄλλων,
Σκήπτρῳ καὶ ἀρετῇ, πρὶν γέγον' οἰνοπότης,
Πρὶν δὲ μεθυπλήγεσσιν ἀεθλητῆρσιν Ἰάκχου
Στῆσεν ὑπερμέτρων λυγρὸν ἀγῶνα πότου,
Πρὶν δ' ἔκαμεν Διονύσου ἐν εἰρεσίᾳ μετὰ ναύταις
Συμποσίου, κρατῆρσι καὶ κυλίκων ἐρέταις.
Ὃν βίη, ὃν δ' ἐνέδρη, ὃν δ' αὐτὸς μιαιφόνος ἄρης
Οὐκ ἐδάμασσεν, ἄρης εἷλε κυπελλόμαχος.
Καὶ μὲν, ἀπ' αἰῶνος νέος ὤλετο, δεῖξε δὲ πᾶσιν,
Ὡς οἰνοφλυγίης οὐ καλόν ἐστι γέρας.
Ἀλλὰ κακῶν πάντων φοβερώτατον, ὅ, τι βροτοῖσι
Ἡ μέθυσις τίκτει, παῦλος ἔδειξε λόγῳ.
Φησὶ γὰρ οἰνοβαρεῖς ἀκλήρους αἰὲν ἔσεσθαι
Μελλούσης ζωῆς, αἰθερίων τε μονῶν.
Ταῦτα διδάσκειν ἁπλοτέρους ἐμὲ θυμὸς ἄνωγε,
Ὡς κακὰ πλεῖστα βροτοῖς ἡ μέθυσις παρέχει.
Σωφροσύνης δ' εὔκοσμα καὶ ἄρτια πάντοτε πέλονται,
Καὶ τῇ μαργοσύνῃ ἀμφιτίθησι πέδας.
Νηδὺν ἀναίσχυντον καὶ λαυκανίην ἀκόρεστον
Νικᾷ, καὶ ποιεῖ νῷ ὑποτασσόμενα.

Hinc

*Hinc ravis & tußis, ructusq́; coryza, screatus,*
*Singultusq́; auris sibilus & gravitas.*
*Nausea, & angina, oscedo spiratioq́; ægra,*
*Pleuritis, scabies, incubus, atq; febres.*
*Cardiace, capitisq́; dolor, tum oblivia mentis,*
*Et qui Lemniadum faucibus halat, odor.*
*Hydrops Herculeumq́; malum, vertigo, podagra,*
*Torminaq́; hinc alvi puraq́; dira fluunt.*
*Et pallens tabes, spasmusq́;, cachexia, languor,*
*Et morbi attoniti fulmen, atroxq́; furor.*
*Somni terribiles & secula cætera morbûm,*
*Postremo velox ad Phlegethonta via.*
*Testis Alexander virtute insignis, & armis,*
*Ante avidæ quàm se dedidit ille gulæ.*
*Quàm socÿs madidis vino certantibus auctor*
*Immodici statuit prælia dura meri,*
*Quàmq́; in remigio poclorum, strenuus ipse*
*Certavit validis remigibus calicum.*
*Quem vis, quem insidiæ, quem non Mars ipse cruento*
*Edomuit, Mars hunc Bacchicus edomuit.*
*Sic ille interÿt iuvenis, testatus abundè*
*Præmia, quæ pleni persoluëre cadi.*
*E cunctis autem vini tristißima pœna est,*
*Quam clare Pauli litera sacra docet.*
*Scilicet impleri gaudet quicunq; Lyæo,*
*Hæres æthereæ non erit ille domo.*
*Hæc animus pueris iubet instillare tenellis,*
*Innumeras clades ut ferat ebrietas.*
*At pia sobrietas cuncta ordine perficit aptè,*
*Inÿcit indomitæ vincula nequitiæ.*
*Pruritum ventris ratione, gulæq́; barathrum,*
*Vincit, & hæc animo subdita cuncta facit.*

 Περιγμαλε

Πρήγματα ῥυθμίζει, παύει κότον ὕβρεος ἀρχήν,
Αὐαίνει δ' ἐρίδων ἄνθεα φυόμενα.
Γλῶσσαν δ' εὐθύνει, χαλεπὴν δὲ φυλάσσεται ἄτην,
Καὶ λύπην, κόπτει δ' ἄγρια φῦλα νόσων.
Ἥδε φρένας σώζει καὶ ὑγείην, πάντα δ' ἐπ' αὐτῆς
Ἔρχεται ἀνθρώποις ἄρτια καὶ πινυτά.
Ταῦτ' οὖν γινώσκοντες ἐπισταμένως κε πίωμεν,
Εἰδότες ἐν πᾶσιν μέτρον ἄριστον ἔχειν.
Μέτρον δ' εἶναι ἄριστον, ὃ μὴ πολὺ, μήδ' ἐλάχιστον,
Βαιὰ τὸ γὰρ τέρπει, πῆμα τὸ δ' αὖθι φέρει.
Ἔμπης βαιὰ πιεῖν, βαιὸν καὶ σίνεται ἄνδρα,
Ἡ δὲ μέθη πολλῶν ῥίζα κακουργιέων,
Ἧκε ῥε' ἐξαιρεῖο πολύφρονι τὰς φρένας ἐσθλάς,
Ἐμβάλλει δ' ἄσης τῷ νοὶ ληθεδόνα.
Μέλπωμεν δὲ μετ' ἀλλήλοις οἴνοιο δοτῆρα,
Οὐ πολυθρύλλητον τὸν διὸς ἐκ Σεμέλης,
Αὐτὰρ τὸν παντὸς κτιστὴν, σωτῆρά τε πάντων,
Ἐν τριοστῆσιν ἕνα γνωστὸν ἐπιστάμενοι,
Οὗτος γὰρ τὸ πρῶτον ἐν ὀργάσιν οἰνάδ' ὀπώρην
Ἤλδανε, κὰν βότρυσι ξανθὸν ἔφυσε γάνος
Καὶ τοῖς ἀνθρώποις ἱμέρτ' ἐχαρίσατο δῶρα,
Σῶμά τ' ἐπιῤῥῶσαι, καὶ νόον εὐφραινέειν.
Τοὔνεκα τὸν δώτην φθογγῇ κελαδῶμεν ἐραννῇ,
Κοσμῶμεν δὲ πότοις σύμφρονες εὐλογίαις.
Ὕβριν ἀπεχόμενοι, καὶ ἄωρά κεν ὅσσα γένοιτο,
Τὴν μεγάλην γοερίην, τήν τε κακηγορίην.
Μήτ' ἔχῃ ἐν φυλακαῖς ῥηθέντα που Ἄσβολος ὁ Κρής,
Ὄφρα φίλον προδιδοὺς εἰς κακότητα βάλοι.
Οὔτι γὰρ ἀνθρώποις καὶ τῷ θεῷ ἔχθιον ἀνδρὸς,
Ὅστις ἀλιτραίνει παρβασίῃσιν ἀλῶν.
Χαιρέτω ὅστις τοῖος. ἀπόπροθι κεῖνος ἀμείνων
Ἢ πέλας, ἐν κόλπῳ ὅττι κέκευθεν ὄφιν.

Res omnes aptat, satiem, mens unde superba
Pullulat, & litis semina iacta premit.
Hæc linguam regit, & noxas intercipit omnes,
Immites morbos, quæ cruciantq́, cavet:
Hæc mentem servat, servat quoq́, corpus, ab illa
Omnia mortali congrua proveniunt.
Hæc ergo edocti cautè data vina bibamus,
Discamusq́, omni re tenuisse modum.
At vini modus est, non multa, parúmve bibisse,
Namq́, minus iuvat hoc, damna sed illud habet.
Pauca bibisse tamen melius, noxaq́, minore est,
Multa sed ebrietas flagitiosa parit.
Quæ mentem, quamvis sapientibus, eximit omnem,
Officijq́, facit non meminisse sui.
Porro laudemus vini simul ore datorem,
Non Semele ficto quem tulit usta iovi.
Sed rerum Patrem, Servatoremq́, verendum,
Qui Deus in triplici numine numen idem.
Hic primus vineta crêat, viniq́, liquorem,
Hinc nobis flauus prouenit ille latex.
Hic hominum generi est munus largitus amœnum,
Vt cor exhilaret, fessaq́, membra levet.
Ergo cantemus concinna voce datorem,
Ornemus dictis candida pocla bonis.
Linquamus rixas, animisq́, aliena locoq́,
Grande nihil dicat lingua, malumq́, nihil.
Nec tu dicta notes nigrum genus Asbole Cretum,
Vt socios prodens in mala sæva trahas.
Nam nil in terris, divisq́, odiosius illo,
Qui violat sacros impietate sales.
Heu monstrũ valeas procul ad Garamantas & Indos
Sic satius: gremio namq́, venena foves.

Ἀλλὰ βροτῶν πανάριστος ἄναξ ἐπὶ αἰθέρι ναίων,
ὑψόθεν ἡμέτερον σωφρονίσε νόον.
Μὴ δῶρ᾽ ἐκτενέως ἅπερ ἡμῖν ἐγγυαλίζει,
Γαστρὶ λαφύσσωμεν παμφάγῳ ἐκτραπέλως.
Μᾶλλον δ᾽ ἐγκρατέως πινυτόφρονι χρώμεθα θυμῷ,
ἱέμενοι φεύγειν πήματα τόσσα μέθης.
Παντοῖαι λῦπαι πάρα μὲν δειλοῖσι βροτοῖσι,
Τῆς δὲ μέθης οὐδὲν κύντερον ἄλλο κακόν.

Ἰωάννης ὁ Λαδισλαὸς τοῦ γυμνασίου ἀρχικοῦ παρ᾽ Ἄλβιδι ποταμῷ ἐπιστάτης.

Ὁρᾶν τέλος μακροῦ βίου:

*Optimus ast hominum Rex, qui tenet ætheris aulam,*
*Temperet afflatu pectora nostra suo.*
*Ne, quæ largitur nobis, sua dona benignus,*
*Turpiter absumant viscera vasta semel.*
*Quin illis potius cordatè vtamur, & omnes*
*Vitemus clades quas parit ebrietas.*
*Humanam gentem varia urgent secla malorum;*
*Sed gravius nullum est ebrietate malum.*

IOHANNES LADISLAVS ludi illustris ad Albim magister.

Respice finem.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0026-6

a 2490

ULB Halle 3
003 485 986

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0027-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0028-7

XIII. Gl 2713

# ΠΟΙΗΜΑ ΝΟΥ-ΘΕΤΙΚΟΝ,

## ἀπὸ τοῦ τρυγητοῦ.

Ὅτι τῷ οἴνῳ μετρίως μὲν χρῆσθαι, μέγα λυ-
σιτελεῖ· πέρα δὲ τοῦ καλῶς ἔχοντος ἐμφορεῖ-
σθαι, κομιδῆ βλάπτει. ἑλληνιστὶ καὶ
λατινιστί.

## *CARMEN MONITORIVM, POST VINDEMIAM.*

*De vini moderatè poti vtilitatibus & commodis: & aliter sumti incommodis atq; damnis. Græcè & Latinè.*

*VVITEBERGAE*
In Officina Hæredum Cratonis, 1588.

11 48

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-236446-p0029-6